*ἥκοιεν*[40]) *ἐπὶ τὰ τοιαῦτα νοσήματα, ὥσπερ ὁ Αἴας προσδοκήσας ἐγκρατὴς εἶναι*[41]) *τῶν ὅπλων καὶ ἀποτυχὼν*[42]) *ἔγνω ἑαυτὸν ἀνελεῖν. αἱ δὲ τοιαῦται φιλονεικίαι*[43]) *οὐκ εἰσὶν ἐπωφελεῖς οὐδὲ τοῖς δοκοῦσι νενικηκέναι. ὅρα γὰρ καὶ*[44]) *παρ' Ὁμήρῳ*[45]) *τὰ περὶ τῆς ἥττης τοῦ Αἴαντος πάνυ διὰ βραχέων καὶ*[46]) *περιπαθῶς·* (*Ὀδ. λ.* 542.)

*οἴη δ' Αἴαντος ψυχὴ Τελαμωνιάδαο*
*νόσφιν ἀφειστήκει κεχολωμένη εἵνεκα τευχέων.*

*εἶτα αὐτοῦ ἄκουε τοῦ κεκρατηκότος·* (547.)

*ὡς δὴ μὴ ὄφελον νικᾶν τοιῷδ' ἐπ' ἀέθλῳ.*

*οὐκ ἐλυσιτέλησεν ἄρα αὐτῷ ἡ νίκη, τοιούτου ἀνδρὸς διὰ τὴν ἧτταν ἀποθανόντος*[47]).

*Ἡ*[48]) *σκηνὴ τοῦ δράματος*[49]) *ἐν τῷ*[50]) *ναυστάθμῳ πρὸς*[51]) *τῇ σκηνῇ τοῦ Αἴαντος. δαιμονίως*[52]) *δὲ εἰσφέρει προλογίζουσαν τὴν Ἀθηνᾶν. ἀπίθανον γὰρ τὸν Αἴαντα προϊόντα εἰπεῖν περὶ τῶν αὑτῷ πεπραγμένων, ὥσπερ ἐξελέγχοντα ἑαυτόν· οὐδὲ μὴν ἕτερός τις ἠπίστατο τὰ τοιαῦτα, ἐν ἀπορρήτῳ καὶ νυκτὸς Αἴαντος δράσαντος· θεοῦ οὖν*[53]) *ἦν τὸ ταῦτα*[55]) *διασαφῆσαι, καὶ Ἀθηνᾶς προκηδομένης*[56]) *τοῦ*[57]) *Ὀδυσσέως, διό φησι·*

*καὶ πάλαι φύλαξ ἔβην*
*τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυνηγίᾳ.*

*Περὶ δὲ τοῦ θανάτου τοῦ Αἴαντος διαφόρως ἱστορήκασιν*[58]). *οἱ μὲν γάρ φασιν ὅτι ὑπὸ Πάριδος τρωθεὶς ἦλθεν εἰς τὰς ναῦς*

40. *οἱ ἄνθρωποι ἥκοιεν*] *ἐμπίπτουσιν οἱ ἄνθρωποι* Jen. *οἱ ἄνθρωποι εἰς μανίαν περιτρέπονται* Dresd. a. Mosq. a. Turn. *ὃ δὴ καὶ Αἴας πέπονθε, τῶν Ἀχιλλείων ὅπλων ἀποτυχὼν* Dresd. a. Turn. *ὃ δὴ καὶ ὁ Αἴας πεπονθὼς, τῶν Ἀχιλλείων ὅπλων ἀποτυχὼν ἑαυτὸν ἀνεῖλεν* Mosq. a.

41. *εἶναι*] *γενέσθαι* S.

42. *ἀποτυχὼν* A. Dind. *καὶ ἀποτυχὼν* vulg. *κᾆτ' ἀποτυχὼν* conj. Bergk.

43. *φιλονεικίαι* Mosq. a. Herm. Wund. Dind. *νῖκαι* vulg.

44. *γὰρ καί*] *καὶ* om. F.

45. Odyss. *λ'*· 542—7.

46. *διὰ βραχέων καί*] *βραχέως εἰρημένα* Jen. *καὶ λίαν* Mosq. 357.

47. *αἱ δὲ — ἧτταν ἀποθανόντος* om. T.

48. *ἡ*] *ἡ μὲν* T. Jen. *ἡ σκηνὴ — τρωτὸν ἔμεινε* om. F.

49. *δράματος ὑπόκειται* S. Jen.

50. *ἐν τῷ*] *περὶ* J. S. Jen.

51. *πρός*] *ἐν* J. S. Jen.

52. *δαιμονίως — κυνηγίᾳ*] Instead of this *προλογίζει δὲ ἡ ἀθηνᾶ* in A.

53. *οὖν*] *δὲ* Ald. *λοιπὸν* Jen. om. J.

55. *τὰ τοιαῦτα* Jen. *τὸ ταῦτα* T.

56. *προκηδομένης* Jen. Sch. Dind. *προσκηδομένης* vulg. Cf. on Tr. 966.

57. *τοῦ* om. Jen.

58. *διαφόρως δὲ ἱστορήκασι τὰ περὶ τοῦ* (*τοῦ* om. Mosq.) *θανάτου τοῦ Αἴαντος* T. Mosq. 357.